2) Vollständig unmotivirt. Die Artt. der HH. Kern, Papadimitrakópulos, u. s. w. (um von Anderen zu schweigen) beweisen das Gegentheil.

3) „ursprünglich" — wann? fragen wir. Und was bedeutete „wie *οι* lautete"? In welcher Sprache? War der Laut getrennt oder nicht? [1])

4) Schrift und Aussprache werden hier wieder von Herrn Bolland auf merkwürdige Weise durcheinander gewürfelt. Die ursprünglich-diphthongische Aussprache ist sehr wahrscheinlich, aber in der Blüthezeit der Litteratur war, wenigstens in Athen u. s. w., schon monophthongische Aussprache der s. g. Diphthongen. Dies beweisen die Inschriften (*insofern man bei dieser Frage überhaupt von „beweisen" reden kann*) Herr Bolland scheint alle Art. darüber noch gar nicht gelesen zu haben.

5) Herr B. spricht hier und überall mit einer Sicherheit (oder sollen wir sagen Arroganz?) welche jedenfalls sehr unwissenschaftlich ist. Wäre er wirklich Sprachhistoriker, so würde er in einer so schwierigen Frage viel vorsichtiger urtheilen, und nicht als *bewiesen* annehmen was noch, in vielen Hinsichten, gar nicht bewiesen ist, und wohl auch niemals bewiesen werden kann. Sehr richtig sagte Herr Flament: „Quel moyen pour les Grecs (du „IIIe siècle) avant notre ère, de figurer d'une manière indubitable leur „prononciation pour l'œil d'un Français ou d'un Allemand du XIXe siècle?" (Hellas II p. 217).

6) Die Zusammenstellung von Gr. *γεννήτωρ* mit Skr. janitar ist vielleicht bedenklich. Uebrigens scheint Herr B. den Art. Rangabé's nicht genau

---

1) Darauf kommt es eben an! Statt gelehrtes Material anzuhäufen, dass er leicht jedem Handbuche (Brugmann, u. a.) entnehmen kann, sollte Herr Bolland nicht auf solche Weise dem *Kern der Frage* aus dem Wege gehn. Red.

gelesen zu haben, denn γενήτωρ wird von Herrn Rangabé nur für den Itacismus des η mit janitar zusammengestellt (Hellas 1 p. 177). Es ist lächerlich von Herrn B. nur die vermeinten Fehler, wenigstens die zweifelhaften Stellen, in einigen Art. der Hellas anzugreifen, und daraus mit einer Kühnheit Schlüsse zu ziehen, welche uns eher vermuthen lassen ...... dass Herr B. gar kein Sprachhistoriker und gar kein Linguist ist.

7) „Ziemlich genau ermittelt." — Bitte, Herr Professor, wo sind die Grenzen der Genauigkeit? Können Sie uns das urhellenische Lautsystem ziemlich genau erschliessen? Wir stehen noch im Anfange dieser Studien!

8) Wer hat denn behauptet, das Neugriechische sei mit dem Altattischen identisch? Herr B. hat unsere Zeitschrift wohl nicht gut gelesen, sonst würde er nicht solcherweise Windmühlen bekämpfen.

9) Bitte, Herr B., lesen sie doch erst den Aufsatz des Herrn Prof. Hatzidakis in Hellas I S. 299 flg., ehe Sie dieses alle Vorurtheil wiederholen.

10) Wieder unrichtig: denn die heutige Aussprache giebt im Gegentheil eben ziemlich richtig die Perpetuiring des alten Lautsystems; auch vergisst Herr B. dass das Hellenische eine südliche, eine orientalische Sprache ist, und dass die Aussprache dieser Sprachen viel konservativer zu sein scheint, als der nördlichen.

11) Das ist wohl der einzige VÖLLIG richtige Satz im ganzen Artikel! Aus praktischen Gründen geht Herr B. mit uns, aber warum denn dieser ganze Streit? — Ueberhaupt ist es ärgerlich zu sehen, wie Ausländer (in casu Holländer!) noch immer auf solche anmassende Weise die Griechen und ihre historisch entwickelte Schrift- und Hochsprache anzugreifen wagen, während sie vielleicht nie in Griechenland gewesen sind und von dem hochentwickelten Litteraturleben der heutigen Hellenen gar keine Idee haben. Herr Docent Bolland kann uns durch einen solchen Artikel nur „dociren", dass er besser gethan hätte, sein eigenes Urtheil über die Frage der Aussprache und über die Sprachfrage in Griechenland noch einige Jahre „zurückzuschrauben" [1]).

DIE RED.

GREEK TEACHING IN ENGLAND [2]).

I.

England, 1890, Aug. 25.

My dear Mr. Ferrette,

I am much interested in reading the programme of the conference of the Société Philhellénique to be held at Amsterdam on Sept. 20.

Having now a year's experience of the method of teaching Greek and Latin at *** Grammar School, which fairly represents the usual system followed in England, I can only say it is marvellous the study remains at

1) Mangel an Zeit erlaubte uns nicht, ausführlicher auf den Art. des Herrn B. zu antworten. Die Red.

2) Extract of letters, adressed by one of our members to Mr. Ferrette. These letters are interesting enough to be reproduced here. (Red. of Hellas).

all of these two languages, in the face of the outcry against them, and the pressure of many subjects required to be learned by boys. But England is conservative, things go on as they have done. At the same time one can't help feeling that the days of Greek are numbered, except for scholars, unless something can be done to popularize the study.

First there must be, in every school teaching Greek, a living Greek, as there is always a Frenchman and a German, as a professor of his own language, who would teach the boys the modern pronunciation and talk to them in Greek. I am sure, if this were done, the inordinate time now given to the study might be abridged.

An unlucky boy is set down to a bit of Xenophon to translate it. Any help from others who can read, or to look at a translation or *crib* as they call it, is a *mortal sin* indeed. The poor boy spends an hour battling with a short portion, so that any idea of being interested, or of continuity in the narration, is an impossibility.

Then the awful, uncouth sounds of the English pronunciation are enough to prejudice any one with an ear against the language.

Then the way boys who know next to nothing are set down to do *Greek prose*, i. e., to put English into Greek before they can translate Greek into English, before they can read or understand. Everything is done as if with a view to cultivate Philistines, who will for the remainder of their lives hate and abhor Greek; and as to literature, not one in ten advances beyond with difficulty construing a short passage here and there, required for examination. As to reading an author, or being interested in a writer, that is impossible.

These boys cannot all be made into savants and scholars. What is wanted, in order to prevent the language from being totally abandoned, is a more easy and natural mode of study, which will interest the boys' minds in the *literature* ancient and *modern*, and in the living Greek nation, without the enormous sacrifice of time to this dull and unintelligent system, which may produce a few scholars (who, however learned, yet can't understand the language as now spoken), and only serves to disgust the boys in general with the subject.

The fathers of the boys, and the public, groan over the time wasted, and one hears on all sides, „What use is Greek to my boy?" „I learnt Greek, it never did me any good; I never did anything but waste my time over Greek prose and read stupid *scraps* from old authors." „Far better give the time to German or science".

A great point with the masters is that the unfortunate boy is *not to be helped*. He must battle alone with the difficulties. Any aid towards understanding the passage or composing the sentences is a crime. The *teaching*, at school, is about *nihil*. They don't seem to know what *teaching* means: „The rules are in the book; what more do you want?" If the exercise is wrong it is hastily corrected.

The verbs learned, repeated; the short, uninteresting passage translated by the class when the boys know nothing of the text, make the whole

lesson as mechanical and as dead as it is possible to conceive. Of course, a very clever boy with a taste for Greek may get on; but the majority, I am convinced, who are compelled still to learn it for the examinations, only learn to hate it and never arrive at the literature; and one sees the outside pressure from parents and the public must tell before long, and cause the study to be given up, unless a radical change is made in the manner of teaching..

Professor Blackie has been lately in Oxford lecturing in favour of the modern pronunciation, but, as you know, the difficulties are enormous. The old savants, who have all their lives been used to the English pronunciation, who, I believe, care far more for Greek as a philological study than for the literature of the reviving nation, form a dead weight of opposition. One must hope and pray for the younger generation, and ventilate the subject without cessation, in order to attain the end. Our Latin pronunciation, bad as it is, is not such a crying evil, because there is no young Latin nation springing up and speaking the language as a living tongue.

I think it would help if your little "Ulysses Panhellen" could appear with a French *mot-à-mot* translation as well as Latin, for few boys know Latin well enough to profit by it, to say nothing of a large class of leisure persons, perhaps mainly ladies, who for one reason or another are struggling to learn the language. I am surprized to find *how many*. I think were your little book to have the French also it would be widely used. ***.

II.

***, England, 1890, Aug. 31.

My dear Mr. Ferrette,

There is an article in a periodical of some months ago that I intended to write to you about. I even forget the name of the author, but it was a man of some standing, who ought to be got hold of. It is the only thing of any kind that I have met with at all sympathizing with the movement or appearing to understand the fatal effects, the dull and stupid system of teaching must have on the future of classical languages in England. If it should be said "Yes, but this system has always gone on: why change?" the answer of course must be "How changed are the circumstances!" Fifty or a hundred years ago science did not exist for ordinary education, mathematics hardly. With the extreme pressure of the numerous subjects now expected to be studied, those languages, especially Greek, must go tho the wall unless something be done. The day still remains at twenty four hours, and the boys are expected at an early age to be prepared for examinations; and the parents keep crying out against Greek especially. There are some schools now where Greek is not allowed to be taught even if asked for. The only wonder is it is so much taught as it is. A good scheme for teaching boys Greek ought to be propounded and talked about and made known: the time necessary to give it, etc. A prize should be offered to

he boy who could read at sight a modern Greek newspaper. The reading and understanding is much less made of than philological grammatical knowledge and writing prose in the style of Cicero and Demosthenes. You can imagine these wretched little compositions of boys who *read* with the greatest difficulty! There are small signs of a turn in the right direction. I see by reports of the public examiners more is to be made of what they call the *unseen*, which means simply reading at sight. ***

106, Renfrew street, Glasgow, 20th October '90.

Dear Sir,

I feel greatly honoured that the General Assembly of our Society has considered it proper to elect me one of its „Correspondants" and I trust the Society will find me always full of devotion for its work, and zealous in carrying out its desires in this country.

I am, Dear Sir,
Yours truly
A. Stuart.

Dr. H. C. Muller
Sec. Philhellenic Society,
Amsterdam.

Tiel, 3 Nov. 1890.

Geehrter Herr Muller,

Erlauben Sie mir, über dasjenige, was Sie im letzten Hefte der „Hellas" über den „Niederländischen Philologentag in Breda" geschrieben haben, dieses Schreiben an Sie zu richten mit freundlicher Bitte es in der nächsten Lieferung aufzunehmen. Es ist meine Erfahrung, dass mancher Streit aus einem Missverständniss entsteht und vermieden hätte werden können, wenn die Parteien sich zu rechter Zeit über den eingenommenen Standpunkt richtig und klar ausgesprochen hätten. Eben desshalb wünsche ich mit wenigen Worten deutlich zu machen, was ich bestreite.

Dass ich Ihr ernstes Bestreben würdige, habe ich im Jahre 1889 gezeigt, und Sie haben die Freundlichkeit gehabt, es damals anzuerkennen. Von Voreingenommenheit Ihnen gegenüber kann also nicht die Rede sein. Es ist wahr, Sie haben mich deren nicht beschuldigt, aber mancher, der liest was Sie auf Seite 7 geschrieben haben, möchte wohl den Eindruck davon bekommen.

Was ich aber behaupte, ist dies: die Jahresversammlung des Vereins Niederländischer Gymnasiallehrer ist *kein* Philologentag und darf es auch nicht werden. Der Verein umfasst das ganze Lehrerpersonal und soll ein freundchaftliches Band bleiben für Alle. Dass ein solches Band für die niederländischen Gymnasien von grossem Interesse ist, werden Sie wohl schwerlich läugnen. Nun äussern Sie freilich die Idee, die Versammlung in zwei Sectionen zu theilen, eine literarische und eine philosophische. Ich möchte noch lieber drei Sectionen, eine für klassische Philologie, eine für moderne Sprachen und eine philosophische. Jedoch muss dann die Versammlung auf mehr

als einen Tag ausgedehnt werden, weil jedenfalls eine Plenarsitzung nicht ausbleiben darf. Einer solchen Ausdehnung können in der Praxis Schwierigkeiten im Wege stehen: der an Zahl weit stärkere Lehrerverein für mittleren Unterricht z. B. hat auch keine Eintheilung in Sectionen. Das ist nun jedoch eine Frage, worüber nicht wir, sondern die Versammlung zu entscheiden hat. So lange wir aber nur Generalversammlungen haben, sind diese meiner Ansicht nach allerdings nicht der geeignete Ort für specifisch wissenschaftliche Vorträge, die nur einem kleinen Theil der Versammlung Interesse einflössen können. Unter den eilf Lehrern des Tieler Gymnasiums, das bei den Versammlungen in Nymwegen und Breda ziemlich stark vertreten war, sind sechs, denen die Aussprache des Griechischen ganz gleichgültig ist Sollen wir diese Mitglieder ausstossen? Wenn es nun einmal feststände, dass die neugriechische Aussprache auch für das Altgriechische die einzig richtige ist, dann würde ich zugeben können, dass die Generalversammlung den Wunsch aussprechen möchte, sie als positives Resultat wissenschaftlicher Forschungen allgemein einzuführen; es wäre dann eine pädagogische Frage geworden. So weit, meine ich aber, sind wir noch nicht gekommen. Was würden Sie aber dazu sagen, wenn etwa ein Mathematiker eine ganze Umgestaltung oder eine ganz neue Theorie des mathematischen Unterrichts zum Vorschein brachte und in jeder Versammlung gegen die alte Methode Sturm liefe und Jahr an Jahr seinen Kriegslärm hören liess (cf. Hellas II S. 309 in fine): Ceterum censeo antiquam mathematicorum viam et rationem esse delendam? Dann würden doch wohl die Philologen meinen, so lange man noch nicht zu einem genügenden Resultate gekommen sei, sei die Plenarversammlung des Vereins nicht der Ort, einseitige wissenschaftliche Systeme in Debatte zu bringen.

Jeder Bestrebung, die Versammlung des Vereins zu einem Philologentage zu machen, werde ich mich immer im Interesse des Vereins widersetzen. Soll Niederland einen Philologentag bekommen, dann muss solches nicht auf diesem Wege geschehen.

In ausgezeichneter Hochachtung
J. G. Schlimmer.

Note.

Auf das wohlwollende Schreiben des Herrn Dr. Schlimmer will ich nur sehr kurz antworten, dass 1) erstens der besagte Verein fast ausschliesslich aus Philologen besteht, das 2) zweitens mein Vortrag nicht ein rein wissenschaftlicher, sondern vielmehr ein pädagogischer war, und dass 3) drittens die HH. Naturphilosophen doch auch wohl einigermassen im Stande sind zu beurtheilen, ob man nicht besser thäte beim Unterricht einer lebenden Sprache, wie das Hellenische ist, die lächerliche „fantasie de cabinet d'étude" eines Erasmus (sic) zu verlassen, und (mutatis mutandis, wie ich immer sagte) die lebende Aussprache des Volkes selbst anzunehmen? Bei welcher lebenden Sprache wird denn doch für die ältere Periode eine ganz willkürliche Aenderung der heutigen lebenden Aussprache angenommen?? Warum muss, was für andere Sprachen gilt, nicht gelten für das Griechische?? Uebrigens hoffe ich dass die Versammlung sich in Sectionen theilen wird. Später hierüber mehr.
H. C. Muller.

REÇU PAR LE CAISSIER:

Oct. 6	De Mr.	Jannopoulo, St. Louis	fl. 6.00.
„ 14	„	Hans Müller, Halle a. S.	„ 5.67.
„ 16	„	le Dr. Kretz, New York	„ 5.77.
„ 17	„	Michel Saltes, Göttingen	„ 5.67.
„ 17	„	Papasotiriou, Dresden	„ 5.67.
„ 23	„	Alex. Stuart, Glasgow	„ 5.95.
Nov. 1	„	Cléon Rangabé, St. Pétersbourg . .	„ 7.15.
„ 12	„	Reyer, Italie	„ 4.77⁵
„ 14	„	J. Télfy, Boudapest	„ 6.00.
Déc. 3	„	J. Enk, Nimègue.	„ 8.50.
„ 8	„	Papadimitracopoulos, Athènes. . .	„ 31.55.
„ 10	„	C. B. Vaghias, Braila	„ 3.09.

E. A. SUNIER.

ERRATA.

Hellas II p. 157 Herrn Major von Pfizer l. Pfister.

" "	179	l. 13	ὦν	"	ὧν.
" "	183	" 10	πανταγοῦ	"	πανταχοῦ.
" "	183	" 21	δημώθης	"	δημώδης.
			καθιερώδη	"	καθιερώθη.
" "	188	" 11	τὰ ἁλύσεις	"	τὰς ἁλύσεις.
" "	229	" 21	παραδεχόμεθα	"	παραδεχώμεθα.
" "	230	" 3	ἐν γένει	"	ἐν γένει φωνητικῶς.
" "	231	" 4	μιὰ καὶ αὐτὴ	"	μία καὶ ἡ αὐτὴ.
" "	231	" 25	τὸν πανθεϊσμὸν	"	τὴν εἰδωλολατρείαν.
" "	232	" 26	οἱ μουσικαὶ κτλ.	"	αἱ μουσικαὶ κτλ.
" "	233	" 16	Σελ. νηξ̄γ.	"	Σελ. νη-ξγ.
" "	234	" 33—34	ζώζονται	"	σώζονται.

Hellas II p. 337: L'Assemblée générale de la Société Philhellénique
. . . . détide: l. décide:

Hellas II σελ. 289	στίχ. 20	ἀντὶ	cΰτινος	ἀνάγνωθι:		οὗτινος
" 289	" 28	"	σμυρίγδα	"	"	σμυρίγδι
" 291	" 16	"	ἱστορᾶται	"	"	ἱστορεῖται
" 293	" 2	"	ὢς	"	"	ὡς
" 293	" 5	"	δημοκρατηκοὶ	"	"	δημοκρατικοι
" 303	" 12	"	ἐν τῷ ὕπνῳ			
			τοῦτο	"	"	τούτῳ.

C. I. B. L.

ΠΕΡΙ ΤΟΥ ΤΡΟΠΟΥ ΤΗΣ ΛΥΣΕΩΣ ΤΟΥ ΠΑΡ' ΗΜΙΝ ΓΛΩΣΣΙΚΟΥ ΖΗΤΗΜΑΤΟΣ [1]).

Αὐτὴ αὕτη ἡ ἐπιγραφὴ τῆς προκειμένης πραγματείας „περὶ τοῦ τρόπου τῆς λύσεως τοῦ παρ' ἡμῖν γλωσσικοῦ ζητήματος" ἐμφαίνει τὸ σπουδαῖον μέν, ἀλλὰ καὶ λίαν δυσχερὲς τοῦ ὅπερ ἀνεδεξάμην ἔργου· ἀκριβῶς δὲ ταῦτα ὑπ' ὄψει ἔχων, πρὸς δὲ καὶ συνειδὼς ἐμαυτῷ, ὅτι πλεῖστοι ἄλλοι περὶ τὴν ἀνέλιξιν καὶ οὐσίαν τοῦ παρ' ἡμῖν γλωσσικοῦ ζητήματος ἀπὸ μακροῦ ἤδη χρόνου ἀσχολούμενοι πολλῷ κρείττους ἐμοῦ εἰσι καὶ ἐπιτηδειότεροι τὸν προσήκοντα τῆς λύσεως τοῦ περὶ οὗ ὁ λόγος ζητήματος τρόπον ὑποδεῖξαι, ἐπὶ μακρὸν ἐπεῖχον παρ' αὐτῶν τοῦτον μαθεῖν προσδοκῶν· καὶ δὴ καὶ ἀφορμὴν πρὸς τοῦτο παρέσχον ἐπιτροχάδην τοῦ ζητήματος θιξάμενος πρὸ ἑνὸς καὶ ἐπέκεινα ἔτους ἔν τινί μου ἐπιστολῇ πρὸς τὴν ἐπιτροπὴν τοῦ ἐν Ἀμστελοδάμῳ Φιλελληνικοῦ Συλλόγου (ἐν τῷ α' τεύχει τῆς σειρᾶς τοῦ β' ἔτους τοῦ περιοδικοῦ αὐτοῦ δεδημοσιευμένῃ), ἀλλ' ἐπὶ τέλους ἰδών, ὅτι, καίπερ τῆς ἐπιστολῆς μου ταύτης λίαν εὐπροσδέκτου γενομένης, οὐδεὶς εἰσέτι ἐπεχείρησε τὸ ζήτημα προσηκόντως ἀναπτύξαι καὶ τὸν τρόπον τῆς λύσεως αὐτοῦ ὑποδεῖξαι, πλήρης θάρρους καὶ χρηστῶν ἐλπίδων ἐπεχείρησα τούτῳ πάλιν ἐγὼ (καίπερ συνειδώς, ὅτι οὐχὶ ὁ πρὸς τοῦτο ἐπιτήδειός εἰμι), θάρρους μέν ἐπὶ τῇ πεποιθήσει ὅτι οὐ λείψει μοι ἡ ἐπιείκεια καὶ εὐμένεια τῶν περὶ τὰ τοιαῦτα ἐντριβεστέρων, εἰ ἀνεπαρκὴς ἢ καὶ ἐν πολλοῖς ἡμαρτημένη δόξοι αὐτοῖς ἡ μετὰ χεῖρας πραγματεία, χρηστῶν δ' ἐλπίδων, ὅτι καὶ ἀνεπαρκοῦς ἢ καὶ ἐν πολλοῖς ἡμαρτημένης ταύτης ἀποδεικνυμένης, πέποιθα, ὅτι ὠφέλιμος καὶ αὖθις ἀποβήσεται· καὶ γὰρ τὸ ἀνεπαρκὲς καὶ ἡμαρτημένον αὐτῆς παρέξει δήπου ἀφορμὴν τοῖς περὶ τὰ γλωσσικὰ εὐδοκιμώτερον καὶ ἐπιτηδειότερον ἀσχολουμένοις, ἵνα οὗτοι ἢ πάντῃ νέον καὶ δὴ προσφορώτερον ὑποδείξωσι τρόπον τῆς λύσεως τοῦ γλωσσικοῦ παρ' ἡμῖν ζητήματος, ἢ τὰ ἐλλιπῆ καὶ ἡμαρτημένα τοῦ ὑπ' ἐμοῦ ὑποδεικνυμένου ἀναπληρώσωσι καὶ ἐπανορθώσωσι. Μεγίστη *δ' ὄντως ἔσται*

1) *Σημειωτέον, ὅτι λέξει ἐχρησάμην ἀρχαίᾳ ἐν τῇ μετὰ χεῖρας πραγματείᾳ, ἵνα αὕτη καταληπτὴ ἀποβῇ τοῖς ἐκ τῶν Ἑσπερίων παντελῶς τὴν νέαν Ἑλληνικὴν ἀγνοοῦσιν.*

μοι χαρά, ἂν τὰ πράγματα καταδείξῃ, ὅτι ὡς ἐγὼ πραγματεύομαι τὸ ζήτημα ἐνταῦθα, οὕτω καὶ μόνον ἐξέσται τοῦτο λυθῆναι, καὶ ὅτι ἄρα οὐκ εἰς μάτην ἐπόνησα. Καὶ πρῶτον ἐξεταστέον τὸ γλωσσικὸν ζήτημα ὑπὸ τὴν ἑξῆς αὐτοῦ διπλῆν ὄψιν: α' ἔστιν ἆρα ἡ νῦν Ἑλληνικὴ οὕτω διάφορος τῆς ἀρχαίας, ὡς τινες αὐτὴν ὑπολαμβάνουσι; β' πότερον θεωρητέον τὴν καθ' ἡμᾶς ἢ τὴν Ἐρασμικὴν προφορὰν ὡς τὴν μόνην ὀρθήν;

Τινὲς τῶν ἐν Ἑσπερίᾳ ἄλλως σοφῶν ἀνδρῶν τὴν νέαν Ἑλληνικὴν γλῶσσαν ἐλάχιστα γιγνώσκοντες, ἴσως δὲ καὶ πάντῃ ἀγνοοῦντες, οἴονται ταύτην τὰ μάλιστα τῆς ἀρχαίας διαφέρειν, ὥστε μηδὲ κἂν φάσιν τινὰ ἐκείνης λογίζεσθαι [1]). Εἰκότως δ' ἐπὶ μᾶλλον ἐνισχυθείη ἂν ἡ τοιαύτη αὐτῶν δόξα, εἰ τὴν Ἑλληνίδα φωνὴν οὐχὶ ἐν τῇ παρ' αὐτοῖς συνήθει Ἐρασμικῇ, ἀλλ' ἐν τῇ ἐθνικῇ ἡμῶν προφορᾷ ἀκούσαιεν. Ὡς δ' ἐγὼ τὸ πρῶτον ἀκούσας σοφοῦ καθηγητοῦ Γερμανοῦ Ἑλληνικὰ ἀναγιγνώσκοντος, πᾶσαν ἄλλην ᾠήθην ἀκοῦσαι φωνὴν ἢ Ἑλληνίδα, οὕτως, οἶμαι, καὶ τοὺς τὴν νῦν λαλουμένην Ἑλληνικὴν γλῶσσαν ἐν τῇ παραδεδομένῃ ἐθνικῇ ἡμῶν προφορᾷ μὴ εἰδότας, ταύτην τὸ πρῶτον ἀκούσαντας, χαλεπῶς ἂν πιστεύσειν Ἑλληνίδα εἶναι. Καὶ συγγνωστὴ μὲν αὐτοῖς ὡς ξένοις οὖσιν ἡ ἔν τισιν, ἵνα μὴ εἴπω σχεδὸν ἐν πᾶσι, παραμόρφωσις τῶν φθόγγων τῆς Ἑλληνικῆς ἐν τῇ ἀπαγγελίᾳ, οὐχὶ δ' ὅμως καὶ ἡ προεσχηματισμένη καὶ τὸ πλεῖστον ἡμαρτημένη αὐτῶν ἰδέα, ὡς ὀρθοτέρα εἴη ἡ Ἐρασμικὴ προφορά, ἀλλ' οὐδ' ἡ ἀπατηλὴ καὶ πάντως ἐσφαλμένη δόξα τῶν οἰομένων τὴν σήμερον λαλουμένην καὶ γραφομένην Ἑλληνικὴν τὰ μάλιστα τῆς ἀρχαίας ἀφίστασθαι καὶ διαφέρειν. Τί δ' ἂν εἴποι τις καὶ περὶ τῶν μεμφομένων ἡμῖν ὡς ἐν τῷ γραπτῷ μάλιστα λόγῳ γλώσσῃ χρωμένοις τεχνητῇ; ἀγνοοῦσιν, ὡς ἔοικεν, οἱ τάλανες, ὅτι πάντῃ ἀδύνατόν ἐστι γλῶσσαν τεχνητὴν ὁλοκλήρῳ ἔθνει ἐπιβληθῆναι.

Ἡμεῖς γε οὐδαμῶς διισχυριζόμεθα ἐν πᾶσι τὴν ἀρχαιοτάτην διασεσωκέναι τῶν φθόγγων φωνήν, οὐκ εἰκὸς μέντοι οὐδ' Ἑλληνοπρεπὲς ἡγούμεθα τὴν ἐκ παραδόσεως ἀπὸ στόματος εἰς στόμα καὶ δὴ ἐξ ἐποχῆς ἱκανῶς ἀρχαίας διασεσωσμένην καὶ ὁπωσδήποτε ὑφισταμένην ἀπαρνήσασθαι προφοράν [2]), ἀντὶ ταύτης δὲ τὴν ὑπ' Ἐράσμου

1) Οἱ τοιοῦτοι ἐννοεῖται, ὅτι τὴν ἀρχαίαν Ἑλληνικὴν ὑπολαμβάνουσιν ὡς νεκράν· ἔπιδι ὅμως John Stuart Blackie, Is greek a dead language (Hellas I, 2, 123—126)?

2) Μνημονευτέον ἐνταῦθα ἔργου λίαν ἀξιεπαίνου καὶ σπουδαίου περὶ προφορᾶς ἐπιγραφομένου „Βάσανος τῶν περὶ τῆς Ἑλληνικῆς προφορᾶς ἐρασμικῶν ἀποδείξεων"

καὶ παρὰ τοῖς Ἑσπερίοις ἐν χρήσει οὖσαν ἄνευ λόγου καὶ ἀνάγκης παραδέξασθαι· ἄλλως τε ἡ Ἐρασμικὴ αὕτη προφορὰ τῇ ἡμετέρᾳ συγκρινομένη τοσοῦτον κακόηχος καὶ τραχεῖα ἀποδείκνυται, τοσοῦτον τῆς ἡδύτητος καὶ μελῳδίας αὐτῆς ἀφίσταται, ὥστε ἥκιστα τῇ φυσικῇ τῆς Ἑλληνικῆς ἀνταποκρίνασθαι εὐφωνίᾳ, ἁρμονίᾳ καὶ χάριτι, μᾶλλον δὲ ταύτην ἐξ εὐστρόφου καὶ εὐκινήτου βαρεῖαν, ὀγκώδη καὶ δυσκίνητον, ἐκ λεπτῆς τραχεῖαν καὶ ἐκ θείας οἱονεὶ βάναυσον καὶ ἀγροῖκον παραστῆσαι. Οὐ μὴν ἀλλὰ καὶ αὐτοῖς ἔτι τοῖς Ἐρασμικοῖς τὴν ἡμετέραν διδασκομένοις προφορὰν ἔξεστι διιδεῖν, ὅτι αὕτη διασώζει οὐσιώδη τῆς ἀρχαίας Ἑλλικῆς χαρακτηριστικά, ἤτοι τὸ εὔστροφον καὶ εὔρουν, τὸ εὔηχον, εὐφωνικὸν καὶ λεπτόν, ταῦτα δὲ πάντα ὡς καὶ ἡ ἀκριβὴς καὶ ἀπαράλλακτος πλείστων ὅσων λέξεων [1]), τύπων, σχηματισμῶν καὶ φράσεων ἐκ τῆς ἀρχαίας Ἑλληνικῆς διάσωσις χαρακτηριστικώτατα δήπου τυγχάνει ὄντα καὶ τὰ μάλιστα συνηγορεῖ ὑπὲρ τῆς ἀληθείας, ὅτι ἡ σήμερον Ἑλληνικὴ καὶ μάλιστα ἡ γραφομένη οὐ πάνυ διαφέρει τῆς ἀρχαίας [2]), ἀλλὰ στενότατα ταύτῃ συνδέεται. Τούτου δ' ἀναντιρρήτου ὄντος, ἕπεται, ὅτι δεινῶς ἀπατῶνται οἱ τὴν ἀρχαίαν πάντῃ νεκρὰν ἡγούμενοι καὶ ὡς τοιαύτην διδάσκοντες· ἀγνοοῦσιν ἴσως οὗτοι ἢ οὐ βούλονται συνιέναι, ὅτι θείαν ὄντως καὶ ἀκαταμάχητον

ἐν Ἀθήναις 1889" ὑπὸ Θ. Παπαδημητρακοπούλου, ὅστις καὶ νεωστὶ δεδημοσίευκεν (ἐν τῇ „Ἑλλάδι" II, 4) προσέτι „Nouveaux documents épigraphiques démontrant l'antiquité de la prononciation des Grecs modernes." Γνωστὸν δ' ὅτι κατὰ τῆς Ἐρασμικῆς προφορᾶς ἀντεπεξῆλθον ἐκ μὲν τῶν ἡμετέρων προσέτι ὁ Οἰκονόμος (ἤδη πρὸ πολλοῦ), καὶ ὁ σοφὸς Α. Ραγκαβῆς, ἐκ δὲ τῶν ξένων ὁ d'Eichthal (La langue grecque, ὁ Blackie (The pronunciation of Greek etc. Edinburgh 1852) ὁ Eckstein (Latein. und Griech. Unterricht), ὁ Emile Burnouf (ἔν τινι πραγματείᾳ δεδημοσιευμένῃ ἐν τῇ Revue des Deux Mondes τῆς 1 Ἰουνίου τοῦ 1890); ὁ Aug. Boltz, ὁ Ed. Engel καὶ ἄλλοι. πρβλ. καὶ I. B. Télfy, Meine Erlebnisse in Athen. Budapest 1890 (die hellen. Aussprache σελ. 18—37) καὶ Miss Elisabeth A. S. Dawes, The pronunciation of Greek etc. London 1889.

1) Σημειωτέον, ὅτι καὶ ἐν αὐτῇ τῇ ἀρχαιότητι κατὰ διαφόρους ἐποχὰς ὁ θησαυρὸς τῶν ἐν χρήσει λέξεων, τύπων καὶ σχηματισμῶν διαλέκτου τινὸς οὐχὶ πάντῃ ὁ αὐτὸς διετέλεσεν ἀείποτε, καὶ ὅτι πολλάκις ἔνιοι τούτων, εὐχρηστοῦντές ποτε παρὰ τοῖς μέν, παντελῶς ἄχρηστοι ὑπῆρξαν τοῖς δέ, ἢ σὺν τῷ χρόνῳ περιῆλθον παρ' αὐτοῖς εἰς ἀχρηστίαν.

2) Ὀρθῶς παρατηρεῖ ὁ σοφὸς καθηγητὴς Γ. Χατζιδάκης (ἐν „Ἀθηνᾷ" τόμ. β', τεύχ. β', σελ. 175), ὅτι „ἡ νεωτέρα Ἑλληνικὴ δὲν διακρίνεται τῆς ἀρχαίας κυρίως κατὰ τὴν δημιουργίαν νέων τύπων, ὅσον κατὰ τὴν ἁπλοποίησιν τῶν ἀρχαίων." Καθόλου δ' εἰπεῖν σπουδαιοτάτη τυγχάνει ἡ πραγματεία αὐτοῦ „περὶ τοῦ γλωσσικοῦ ζητήματος ἐν Ἑλλάδι" (ἴδ. Ἀθηνᾶν τόμ. β', τεύχ. β').

κεκτημένη δύναμιν ἡ τῶν ἀληθῶν ἐκείνων τῆς ἀνθρωπότητος διδασκάλων γλῶσσα, σκοπὸν ἐκπολιτιστικόν, πλοῦτον ἀνεξάντλητον καὶ χάριν ἀνεξίτηλον, νικηφόρος ἀντεπεξῆλθε κατὰ τοῦ πανδαμάτορος χρόνου, ὥστε ἐπὶ τοσαύτας διασέσωσται χιλιετηρίδας. Καὶ ὁμολογητέον μὲν, ὅτι ἡ νῦν γλῶσσα ἐν σχέσει πρὸς τὴν ἀρχαίαν πενιχρά δήπου καὶ ῥακένδυτος παρίσταται, ἀλλ' οὐδ' ἐπιληστέον, ὅτι καὶ ὑπὸ τὰ ῥάκη αὐτῆς πολύτιμα διασώζει τῆς ἀρχαίας λαμπρᾶς περιβολῆς λείψανα, μεγαλεῖον ἱκανόν, δύναμιν καὶ πλοῦτον οὐχὶ εὐτελῆ καὶ κόσμον ἀρχαῖον σημαντικόν. Καὶ ἀληθῶς παρήλλακται μέν πως ὁ τύπος τῆς Ἑλληνικῆς σὺν τῷ χρόνῳ προϊόντι, ὑπὸ τὴν ἐπίδρασιν τῶν κατὰ καιροὺς διαφόρων σπουδαίων πολιτικῶν καὶ κοινωνικῶν γεγονότων ποικίλας διανυσάσης φάσεις, οὐχ ἧττον ὅμως ἀναμφήριστον τυγχάνει, ὅτι, ὡς νῦν αὕτη ἔχει καὶ μάλιστα ἐν τῷ γραπτῷ λόγῳ, ἱκανῶς προσεγγίζει τῇ Ξενοφωντείᾳ γλώσσῃ καὶ ὅτι ἄρα ἔξεστιν ἡμῖν βαθμηδὸν ἀναπτύξαι καὶ τελειοποιῆσαι αὐτὴν ἔτι μᾶλλον συνῳδὰ ταῖς ἐν ᾗ ζῶμεν ἐποχῇ περιστάσεσι καὶ ἀνάγκαις, οὕτω δὲ μηδαμῶς τὴν σαφήνειαν καὶ ἀκριβῆ αὐτῆς κατάληψιν μειοῦντες μηδὲ τοῦ δι' αὐτῆς διήκοντος πνεύματος ἀφιστάμενοι δυνάμεθα ὡς οἷόν τε ἀρχαιοπρεπεστέραν καὶ καθαρωτέραν αὐτὴν καταστῆσαι· πρὸς τοῦτο δὲ πρὸ παντὸς ἐπάναγκες ἡγοῦμαι πανταχόθεν ἅπαντα περισυλλέξαι τὸν θησαυρὸν τῶν λέξεων, τύπων καὶ σχηματισμῶν τῆς νέας Ἑλληνικῆς καθόλου, ἵνα ἐκ τούτου παραληψώμεθα μὲν καὶ διατηρῶμεν ἐς ἀεὶ πᾶν τὸ ἀρχαῖον καὶ γνήσιον ἐθνικόν, ἀποσκορακίσωμεν δὲ καὶ ἐξοβελίσωμεν πᾶν τὸ ἐπείσακτον, νόθον, ἀθνεῖον καὶ ξένον. Καὶ χαλεπὸν μέντοι τὸ τοιοῦτον ἔργον καὶ πόνων δεῖται μακρῶν καὶ δαπάνης οὐ σμικρᾶς, τὰ μάλιστα ὅμως κοινωφελές, σπουδαῖον καὶ ἀπαραίτητον τυγχάνει. Ἀλλὰ καὶ ὑπὸ τὴν ἑξῆς ἔποψιν κέκτηται τοῦτο σπουδαιότητα οὐχὶ εὐκαταφρόνητον, ὅτι ἐν ταῖς διαφόροις τῆς σήμερον Ἑλληνικῆς διαλέκτοις οὐκ ὀλίγας ἀνακαλύψειεν ἄν τις λέξεις ἀρχαίας ἀθησαυρίστους καὶ ἐν αὐτοῖς τοῖς δοκιμωτάτοις λεξικοῖς τῆς ἀρχαίας ἡμῶν γλώσσης, οὐκ ὀλίγους τύπους ἑρμηνεύοντας πολλοὺς ἀνερμηνεύτους τῆς ἀρχαίας, ἀλλ' οὐδ' ὀλίγας φράσεις καὶ σημασίας λέξεων διαφόρους διευκολυνούσας τὴν κατάληψιν δυσλήπτων τινῶν χωρίων τῶν ἀρχαίων συγγραφέων. Ἐπεὶ δ' ἐκ πείρας γιγνώσκομεν, ὅτι τύποι, σχηματισμοί, φράσεις καὶ λέξεις ἀρχαῖοι ἐν ταύτῃ ἢ ἐκείνῃ τῇ διαλέκτῳ διασεσωσμένοι πρωΐμως

1) Οὕτω παραδείγματος χάριν λέγουσιν ἐν Ὄρει τοῦ Πόντου „τὸ πρόβαν" ἀντὶ

ἢ βραδέως ἀπώλοντο ἐν ἑτέρᾳ, ἢ οὐδαμῶς ἦσαν εὔχρηστοι ἐν αὐτῇ, ἄλλοι δὲ τἀνάπαλιν ἐν ταύτῃ διασεσωσμένοι ἐξέλιπον ἐν ἄλλαις, ἀναγκαῖον δοκεῖ μοι ἐρανίσασθαι παρὰ πασῶν τῶν νῦν διαλέκτων ὅ,τι ἂν ἀρχαιοπρεπέστερον ἐν αὐταῖς εὑρεθείη [1]) πρὸς μόρφωσιν μιᾶς καὶ μόνης κοινῆς τῶν λογίων γλώσσης, ἣν δεῖ καθιερωθῆναι ἔν τε τῷ πολιτεύματι καὶ τῇ νομοθεσίᾳ, ἐν τῇ διοικήσει, ἐν τοῖς σχολείοις, ἐν τῇ δημοσιογραφίᾳ, ἐν τῇ καθ' ἡμέραν τῶν λογίων συναναστροφῇ καὶ ἀλληλογραφίᾳ· οὕτως, οἶμαι, καὶ ῥᾴδιον ἔσεσθαι πάσας τὰς κατὰ χώραν διαλέκτους σὺν τῷ χρόνῳ ὡς οἷόν τε ἀλλήλαις συμμορφώσασθαι καὶ ἐξομοιώσασθαι. Ἀλλ' ἐπεὶ οὐ λείπουσιν ἐν Ἑσπερίᾳ, ὡς προείρηται, καὶ οἱ μεμφόμενοι ἡμῖν ὡς τὰ τῆς ἡμετέρας γλώσσης ἀγνοοῦσι καὶ ἐν τῷ γραπτῷ λόγῳ γλώσσῃ τεχνητῇ χρωμένοις, ἴσως ἂν εἴποι τις τούτων ἢ καὶ ἄλλος τις, ὅτι περαιτέρω ἐπὶ τὸ ἀρχαϊκώτερον τὴν γραφομένην διαπλάσσοντες, ἔτι μᾶλλον προσκρούσαιμεν ἂν τῇ φυσικῇ καὶ ἐλευθέρᾳ τῆς ἡμετέρας γλώσσης ἀναπτύξει· ἀλλ' ἥκιστα φημὶ ἔγωγε· αὕτη γὰρ καὶ αὖθις ἐκ τῶν ἑαυτῆς καὶ οὐχὶ ἐκ ξένων διαπλασθήσεται καὶ ἀναπτυχθήσεται στοιχείων, ὑποβοηθούντων μόνον τῶν παρ' ἡμῖν δοκιμωτέρων λογίων καὶ συγγραφέων· ἄλλως

τὸ πρόβα, τοῦτ' ἔστι τὸ πρόβατον· ἐπεὶ δὲ προσέτι εὔχρηστός ἐστι καὶ ὁ τύπος τὸ πρόβατον, οὐδὲν τὸ ἀπίθανον, ὅτι καὶ ἐν τοῖς ἀρχαίοις χρόνοις ἐκ παραλλήλου ἦσαν εὔχρηστοι, εἰ μὴ παρὰ πᾶσι, τοὐλάχιστον παρά τισιν, ἀμφότεροι οἱ τύποι οὗτοι, ἅτε δὴ καὶ ἐν τῇ ἀρχαίᾳ ἀπαντῶντος τοῦ τύπου „πρόβασι" (ἴδε Ἀρκάδ. σελ. 138, 6, ἐτυμολογικὸν μέγα καὶ Ἡσύχ., πρβλ. καὶ Gottfried Hermann de em. rat. gr. gramm. p. 308)· προσέτι ἐν Ὄρει λέγουσι „τὸ στέας" (ἀντὶ τὸ στέαρ), τοὖθ' ὅπερ Δωρικὸν τυγχάνει ὄν, μὴ συνεξέδραμε τῷ τύπῳ „κρέας". Ἐν Πόντῳ λέγομεν πρὸς τούτοις „ἀνασκάφτω τὸν ἀποθαμένον" (τοῦτ' ἔστι ἀνασκάπτω τὸν τεθνεῶτα) ἐν τῇ σημασίᾳ τοῦ ἐνοχλεῖν τὸν τεθνεῶτα, διαταράττειν τὴν ἡσυχίαν αὐτοῦ, κακολογεῖν καὶ ὑβρίζειν αὐτόν· ἀλλ' ἡ σημασία αὕτη ἡ μεταφορικὴ διασέσωσται μόνον διὰ τῆς προφορικῆς παραδόσεως. Εἰρήσθω δ' ἐνταῦθα καὶ τοῦτο, ὅτι ἐπεὶ πολλὰ ῥήματα τῆς νέας Ἑλληνικῆς ἀποδείκνυνται ἐσχηματισμένα ἐκ τοῦ θέματος τοῦ β' ἢ καὶ παθητικοῦ ἀορίστου (π. χ. 'πεθαίνω ἐκ τοῦ ἀπέθανα, παθαίνω ἐκ τοῦ ἔπαθα, φυλάγω ἐκ τοῦ ἐφυλάγα κτλ. ἴδε καὶ D. Oekonomides, Lautlehre des Pontischen σελ. 22, σημ. 1), πάντως οὕτως ἐσχηματισμένον θεωρητέον καὶ τὸ ἔτι καὶ νῦν ἐν χρήσει ῥῆμα θίγω ἐκ τοῦ ἀορίστου τοῦ θιγγάνω ἔθιγον, καὶ ἐν τοιαύτῃ περιπτώσει ἀναιροῦνται ὅσα ὁ Passow ἐν τῷ λεξικῷ αὐτοῦ ἀποφαίνεται περὶ τοῦ τύπου θίγω. ἄλλως τε καὶ αὐτὸ τὸ ἀρχαῖον Ἀττικὸν Κάω, ἐκ τοῦ θέματος τοῦ ἀορίστου ἐκάην ἐσχηματισμένον, συνηγορεῖ ὑπὲρ τοῦ ἀληθοῦς τῶν λόγων μου.

1) Ὅτι δὲ καὶ ἐν αὐτοῖς τοῖς δοκίμοις τῆς ἀρχαιότητος χρόνοις ἡ συγκατάμιξις τῶν διαλέκτων οὐδὲν τὸ ἀσύνηθες, οὐδὲν τὸ ἀλλόκοτον παρεῖχεν, εὔδηλον καθίσταται ἐκ τῶν ποιητῶν τῶν χρόνων ἐκείνων καὶ δὴ ἐκ τῶν τραγικῶν καὶ λυρικῶν, πρὸς δὲ καὶ ἐκ τοῦ Ξενοφῶντος, ὡς ὀρθῶς ὑποσημειοῦται Γ. Χατζιδάκης (ἐν „Ἀθηνᾷ" τόμ. β', τεύχ. β', σελ. 192).

τε ἐπεὶ νῦν καὶ ἐκ τοῦ πλήθους ὀλίγοι εἰσὶν οἱ μὴ ἐννοοῦντες καλῶς τοὺς ἐν λεπτῇ, καθαρευούσῃ γλώσσῃ δημηγοροῦντας, ἢ ἐφημερίδας καὶ βιβλία ἐν αὐτῇ ταύτῃ γεγραμμένα, ἥκιστά γε ἢ οὐδαμῶς δυσχεραίνει τὴν δέουσαν αὐτῶν κατάληψιν ἡ πρόσληψις καὶ καθολίκευσις καὶ ἑτέρων στοιχείων ἀρχαιοπρεπῶν μὴ κοινῶν τοῖς πᾶσιν, ἀλλ᾽ ἄλλων παρ᾽ ἄλλοις διασεσωσμένων· ταῦτα γὰρ ἐν συγκρίσει πρὸς τὸν πλούσιον θησαυρὸν τῶν πασιγνώστων λέξεων καὶ τύπων τῆς καθαρῶς γραφομένης Ἑλληνικῆς ἐλάχιστα τυγχάνει ὄντα· ὥστε ἔγωγε οἶμαι μόνον τοιαύτην ὁμοιόμορφον, ἐν τῷ προσήκοντι μέτρῳ κεκραμένην, λεπτὴν καὶ καθαράν, ἐπὶ τῇ βάσει δὲ καὶ κατὰ τὸ ὑπόδειγμα τῆς ἀρχαίας κεκανονισμένην καὶ διαπεπλασμένην γλῶσσαν οἵαν τε εἶναι κοινὴν τοῖς λογίοις [1]), ταῖς σχολαῖς καὶ τῇ δημοσιογραφίᾳ χρησιμεύειν ἐν ἀντιθέσει πρὸς τὴν τῶν πολλῶν [2]), ἥτις ἀνέκαθεν διάφορος ὑπῆρξε καὶ τοιαύτη διατελέσει· ἀλλὰ καὶ τοῖς πολλοῖς, ὡς προείρηται, ἱκανῶς εὔληπτος ἔσται αὕτη. Ὅτι δ᾽ αὕτη, ἅπαξ δεόντως καθορισθεῖσα, ὡς πολλὰ καὶ σπουδαῖα κεκτημένη προτερήματα πολλαχῶς λυσιτελεστάτη ἀποβήσεται, τοῦτο ἀναντίρρητον τυγχάνει· δι᾽ αὐτῆς γὰρ καὶ μόνης ὁριστικῶς διακεχαραγμένης καὶ καθιερωμένης ἐκλείψει ἡ σήμερον ἐπικρατοῦσα σύγχυσις καὶ ἀνωμαλία παρὰ τοῖς λογίοις, ἄλλοις ἄλλως γράφουσι καὶ λαλοῦσιν, ἀρθήσονται δ᾽ ἄρα καὶ αἱ δυσχέρειαι, αἷς οἱ ἐν τοῖς σχολείοις φοιτῶντες παῖδες ἑκάστοτε ἀντιπαλαίουσι διάφορα βιβλία ἐν γλώσσῃ μὴ ὁμοιομόρφῳ ἀναγιγνώσκοντες ἢ ἀποστηθίζοντες καὶ διαφόρων ἀκροώμενοι διδασκάλων, ἄλλων ἄλλῃ λέξει χρωμένων· οὐ μὴν ἀλλὰ τότε καὶ αὐτοῖς ἔτι τοῖς ἀλλοεθνέσιν ἐξέσται ῥᾷον τὴν ἡμετέραν ἐκμαθεῖν γλῶσσαν· οὕτω δὲ καὶ χρόνου οἰκονομία προσγενήσεται μεγάλη καὶ πόνων οὐκ ὀλίγων καὶ δαπάνης οὐ σμικρᾶς· ἄλλως τε ἡ ἐθνικὴ καὶ ἀπαραίτητος αὕτη ἀνάγκη, ἐξ αὐτῆς τῆς φύσεως καὶ τοῦ βίου τοῦ ἡμετέρου ἔθνους πηγάσασα, οὐκ ὀλίγον τι θεραπεύεται, ὡς μαρτυρεῖται ὑπ᾽ αὐτῶν τούτων τῶν πραγμάτων μονονουχὶ φωνὴν

---

1) Ὁμολογητέον, ὅτι καὶ τούτου ἐπιτευχθέντος, οἱ συγγραφεῖς οὐ παύσονται κατὰ τὴν ὑπόθεσιν καὶ τὸν σκοπὸν τῶν συγγραμμάτων αὐτῶν διαφόρῳ χρώμενοι ὕφει καὶ κράματι ποικίλῳ, ἀλλὰ τοῦτο οὐδὲν σημαίνει· αὐτὸ γὰρ τοῦτο ἔπραττον καὶ οἱ ἀρχαῖοι τραγικοὶ καὶ λυρικοὶ ποιηταί, οὐδὲ τῷ αὐτῷ ἀπαντῶμεν ὕφει παρὰ πᾶσι τοῖς δοκίμοις πεζογράφοις τῆς ἀρχαιότητος.

2) Τῷ ἄλλως φυσικῷ τούτῳ διγλώσσῳ ἀπαντῶμεν καὶ ἐν αὐτοῖς ἔτι τοῖς δοκίμοις χρόνοις· πάντως γὰρ καὶ τότε ἄλλως ἐλάλουν οἱ πολλοὶ καὶ ἄλλως οἱ συγγραφεῖς, οἷοι ὁ θεῖος Πλάτων, Θουκυδίδης, Δημοσθένης καὶ ἄλλοι.

ἀφιεμένων· ἡ γὰρ γλῶσσα παντὸς λαοῦ ὡς ὄργανον παραστατικὸν τῶν διανοημάτων καὶ αἰσθημάτων αὐτοῦ συμβαδίζει τῇ ἑκάστοτε τύχῃ καὶ ταῖς ποικίλαις αὐτοῦ περιπετείαις, ὥστε κατὰ ταύτας νῦν μὲν ἐν ἀκμῇ, νῦν δ' ἐν παρακμῇ εἶναι, οὐδέποτε ὅμως ἐν πλήρει ἀκινησίᾳ καὶ ὑπὸ φραγμὸν ἀνυπέρβλητον· τῷ φυσικῷ τοίνυν τούτῳ νόμῳ κατ' ἀνάγκην καὶ ἡ ἡμετέρα ἀκολουθήσασα γλῶσσα, λαμπρὰ μὲν καὶ ἀκμαία διετέλεσεν ἐφ' ὅσον καὶ τὸ ἡμέτερον ἔθνος σφριγῶν καὶ μεγαλουργοῦν ἐπὶ λαμπραῖς καὶ ἐνδόξοις διεκρίνετο πράξεσι, μικροπρεπὴς δὲ καὶ παρηκμακυῖα ἐφ' ὅσον τοῦτο, ὑπὸ τὴν ἐπίδρασιν ἐξωτερικῶν ἢ καὶ ἐσωτερικῶν αἰτίων τῆς δεούσης στερούμενον δυνάμεως καὶ αὐτενεργείας, διετέλει ἐν ἀδρανείᾳ καὶ καταπτώσει· ὥστε καὶ τὴν ἡμετέραν γλῶσσαν δεῖ πάντοτε ἐν σχέσει πρὸς τὴν ἱστορίαν τοῦ ἔθνους ἡμῶν ἐξετάζειν καὶ διερευνᾷν· καὶ γὰρ οὕτω μόνον ἔξεσται ἀληθῆ καὶ πιστὴν ταύτης σχηματίσαι εἰκόνα, ὥστε ὀρθῶς καὶ προσηκόντως περὶ αὐτῆς κρῖναι. Ἐπεὶ δὲ τὸ Ἑλληνικὸν ἔθνος σὺν τῇ ἀνακτήσει τῆς ἐλευθέρας αὐτοῦ ἐνεργείας πάντῃ νέον ἐνεκαινίσατο βίον, νέας ἐκτήσατο σχέσεις καὶ ἀνάγκας, καινοφανεῖς ἔθετο βάσεις τῆς κοινωνίας, πολιτείας καὶ τοῦ ὃν παρεδέξατο πολιτισμοῦ, εἰκός, ὅτι καὶ νέον διανύει νῦν στάδιον ὁσημέραι ὑπὸ πᾶσαν ἔποψιν διαπλασσόμενον καὶ ἀναπτυσσόμενον· τούτου δ' οὕτως ἔχοντος, εὐνόητον, ὅτι καὶ ἡ γλῶσσα αὐτοῦ, τὸ ὄργανον τοῦτο τῆς ἐκδηλώσεως τοῦ βίου αὐτοῦ, συνῳδὰ ταῖς νῦν ὑφισταμέναις τῶν πραγμάτων σχέσεσι καὶ ταῖς ἐνεστώσαις ἀνάγκαις ὁσημέραι διαπλάσσεται καὶ διαμορφοῦται, ἕως ἂν εἰς τὸ προσῆκον ἐξίκηται μέτρον τῆς ἀναπτύξεως καὶ τελειοποιήσεως αὐτῆς. Πᾶς δὲ ὁ βουλόμενος πεῖραν τοῦ πράγματος λαβεῖν, ὅτι, ἅμα ἀρξαμένης τῆς ἐλευθέρας τοῦ Ἕλληνος κινήσεως καὶ τῆς πλήρους αὐτοῦ αὐτενεργείας, ἤρξατο φυσικῷ τῷ λόγῳ καὶ ἡ γλῶσσα αὐτοῦ ἐκ παραλλήλου κινουμένη καὶ εἰς τὰ πρόσω χωροῦσα, ἵν' ἀνταποκρίνηται τῷ νέῳ κόσμῳ τῶν ἰδεῶν, αἰσθημάτων καὶ ἀναγκῶν αὐτοῦ, παραβαλέτω τῇ νῦν γλώσσῃ τὴν ἐπὶ Κοραῆ ἢ καὶ πρὸ αὐτοῦ ὑφισταμένην καὶ παραυτίκα εὑρήσει τὴν σπουδαίαν διαφορὰν ἀμφοτέρων· ἀλλ' ἀντ' αὐτοῦ ποιῶ τοῦτ' ἐγὼ ἐπισυνάπτων ἐνταῦθα ἐν ἀντιπαραβολῇ ἐπὶ παραδείγματι τρία κεφάλαια ἐκ τῶν παραινετικῶν Βασιλείου βασιλέως Ῥωμαίων πρὸς τὸν αὐτοῦ υἱὸν ἐν παραφράσει τῷ αφνγ ὑπὸ Θεοδώρου τινὸς ἐκ Δρύστρας ἐν τῇ τότε καθαρευούσῃ γεγραμμένῃ καὶ ἐν χειρογράφῳ [1]) παρ' ἐμοὶ

---

1) Τὸ χειρόγραφον τοῦτο, ὅπερ πρὸ πέντε ἐτῶν εὕρηκα ἐν τῇ πατρίδι μου Ἀρ-

διασωζομένη, ὡς καὶ ἐν παραφράσει ἐμοῦ ἐν τῇ νῦν καθαρευούσῃ γλώσσῃ:

Κεφάλαιον ε', περὶ ἐλεημοσύνης.

Πολλαῖς φορεῖς [1]) ἡ ἐλεημοσύνη ἀναιρεῖ καὶ αὐτὸν τὸν ὅρον καὶ τὴν τελευταίαν ἀπόφασιν τοῦ θανάτου, καθὼς λέγει τὸ ἱερὸν λόγιον „ἐλεημοσύνη γὰρ ἐκ θανάτου ρύεται" ὅθεν καθὼς φαίνεται ἀγοράζεται ἡ ζωὼ καὶ μὲ ἄσπρα, ὅταν ὁ θεὸς λαμβάνῃ δῶρα διὰ τὴν ἡμῶν σωτηρίαν· λοιπὸν δίδωντας [2]) πρὸς τοὺς ἐνδεεῖς ἐπάνω εἰς τὴν γῆν πλοῦτον θνητόν, συνάγεις εἰς τοὺς οὐρανοὺς πλοῦτον ἀθάνατον, καὶ κοντὰ εἰς αὐτὸν λαμβάνεις ἔτι καὶ τὰ ἀγαθὰ τοῦ παρόντος αἰῶνος· διότι ἀληθέστατα ἀδαπάνητος, πολυτελὴς καὶ ἀτελείωτος εἶνε ὁ τρόπος τῆς ἐλεημοσύνης, ὡσὰν ὁποῦ σκορπιζόμενος πάλιν μαζώνεται καὶ διδόμενος πάλιν λαμβάνεται, καὶ ὄχι μόνον εἰς τὴν παροῦσαν ζωὴν κάμνει πλουσίους τοὺς ἐλεήμονας, ἀλλὰ τοὺς ἀποδείχνει μακαρίους καὶ εἰς τὴν μέλλουσαν.

Πολλάκις ἡ ἐλεημοσύνη ἀναιρεῖ καὶ αὐτὸν τὸν ὅρον καὶ τὴν τελευταίαν ἀπόφασιν τοῦ θανάτου, καθὼς λέγει τὸ ἱερὸν λόγιον „ἐλεημοσύνη γὰρ ἐκ θανάτου ρύεται" ὅθεν καθὼς φαίνεται ἀγοράζεται ἡ ζωὴ καὶ μὲ χρήματα, ὅταν ὁ θεὸς λαμβάνῃ δῶρα διὰ τὴν ἡμῶν σωτηρίαν· λοιπὸν δίδων εἰς τοὺς ἐνδεεῖς ἐπὶ τῆς γῆς πλοῦτον θνητόν, συνάγεις εἰς τοὺς οὐρανοὺς πλοῦτον ἀθάνατον καὶ πλησίον εἰς τοῦτον λαμβάνεις ἔτι καὶ τὰ ἀγαθὰ τοῦ παρόντος αἰῶνος· διότι ἀληθέστατα ἀδαπάνητος, πολυτελὴς καί ἀτελείωτος εἶνε ὁ τρόπος τῆς ἐλεημοσύνης· διότι σκορπιζόμενος πάλιν συνάγεται καὶ διδόμενος πάλιν λαμβάνεται καὶ ὄχι μόνον εἰς τὴν παροῦσαν ζωὴν καθιστᾷ πλουσίους τοὺς ἐλεήμονας, ἀλλὰ τοὺς ἀποδεικνύει μακαρίους καὶ εἰς τὴν μέλλουσαν.

γυροπόλει παρά τινι οἰκογενείᾳ, περιέχει τὰ ἑξῆς: κείμενον ἀρχαῖον μετὰ παραφράσεως τῶν παραινετικῶν Βασιλείου βασιλέως Ρωμαίων πρὸς τὸν αὐτοῦ υἱόν, ἀνθολογίαν διαφόρων λέξεων (τῆς κατὰ τὸν παρελθόντα αἰῶνα δημώδους) κατ' ἀλφάβητον μεθ' ἑρμηνείας αὐτῶν ἐν τῇ ἀρχαίᾳ, ἐπιστολὰς διαφόρων σοφῶν ἀνδρῶν ἐν τῇ ἀρχαίᾳ γεγραμμένας, καὶ εἴδησιν τοῦ εἰς τὸν βασιλικὸν θρόνον προβιβασμοῦ τοῦ Σουλτὰν Ὀσμάν, υἱοῦ Σουλτὰν Μουσταφᾶ πρὸς τὸν ἡγεμόνα Βλαχίας (ἴδε παρακατιὸν σελ. 14).

1) γρ. πολλὲς φορές.

2) γρ. δίδοντας.

Κεφάλαιον νε', περὶ συκοφαντῶν.

Νὰ μὴ δίδῃς ἀκρόασιν εἰς ἐκείνους ὁποῦ λέγουσι λόγια μάταια καὶ ἀβέβαια, ὅτι οἱ τοιοῦτοι πολλαῖς φοραῖς [1]) ἀφάνισαν ἀγαθοὺς ἀνθρώπους, ἔχοντες ὑπόληψιν πῶς εἶναι κακοὶ χωρὶς νὰ εἶναι, μήτε νὰ περιποιῆσαι καὶ νὰ ἀγαπᾷς τοὺς συκοφάντας, ὅτι οἱ τοιοῦτοι ξερνοῦντες τοὺς θυμοὺς τῆς ἐδικῆς τῶν κακίας, θέλουν σὲ κάμει μέτοχον καὶ κοινωνὸν εἰς τὸ νὰ χύσῃς ἀθῷον καὶ ἀναίτιον αἷμα· μήτε νὰ πιστεύσῃς τοὺς κακοὺς καὶ πονηροὺς ἀνθρώπους ἀπερισκέπτως καὶ ἄβουλα, ὅτι καὶ οἱ τοιοῦτοι θέλουν σὲ κάμει ὕποπτον ὡσὰν νὰ χαίρεσαι εἰς τὰ κακὰ, ἐπειδὴ καὶ μὲ δίκαιον τρόπον θέλεις φανῇ πῶς νὰ ἀπόκτησες τὴν γνώμην καὶ τὴν προαίρεσιν ἐκείνων, μὲ τοὺς ὁποίους ἀγαπᾷς νὰ συναναστρέφεσαι καὶ διὰ τοὺς ὁποίους ἀγαπᾷς νὰ ἀγωνίζεσαι πῶς τοὺς πιστεύεσαι.

Μὴ δίδῃς ἀκρόασιν εἰς ἐκείνους, οἱ ὁποῖοι λέγουσι λόγους ματαίους καὶ ἀβεβαίους, ὅτι οἱ τοιοῦτοι πολλάκις ἠφάνισαν ἀγαθοὺς ἀνθρώπους, ὑπολαμβάνοντες, ὅτι εἶνε κακοὶ χωρὶς νὰ εἶνε, μηδὲ νὰ περιποιῆσαι καὶ ἀγαπᾷς τοὺς συκοφάντας· διότι οἱ τοιοῦτοι ἐμοῦντες τοὺς θυμοὺς τῆς ἰδικῆς τῶν κακίας, θέλουσι σὲ κάμῃ μέτοχον καὶ κοινωνὸν εἰς τὸ νὰ χύσῃς ἀθῷον καὶ ἀναίτιον αἷμα· μήτε νὰ πιστεύσῃς τοὺς κακοὺς καὶ πονηροὺς ἀνθρώπους ἀπερισκέπτως καὶ ἀβούλως, διότι καὶ οἱ τοιοῦτοι θέλουσι σὲ καταστήσῃ ὕποπτον, ὅτι δῆθεν χαίρεις διὰ τὰ κακά· διότι καὶ εὐλόγως θέλεις φανῇ, ὅτι καὶ σὺ ἀπέκτησας τὸ φρόνημα καὶ τὴν προαίρεσιν ἐκείνων, μὲ τοὺς ὁποίους ἀγαπᾷς νὰ συναναστρέφησαι καὶ διὰ τοὺς ὁποίους ἀγαπᾷς ν' ἀγωνίζησαι ὅτι τοὺς πιστεύεις.

Κεφάλαιον νζ', περὶ εὐεργεσίας.

Θέλω νά σε νουθετήσω μίαν παραγγελίαν φρόνιμην καὶ σοφήν, ἡ ὁποία ἴσως καὶ εἶναι ἀσυνήθιστος καὶ παράξενος εἰς ἐκείνους ὁποῦ συμβουλεύουσιν, ὅμως εἶναι ἀξία τῆς βασιλικῆς καὶ πατρικῆς βεβαίας φιλίας· ὦ τέκνον περισσότερον νὰ ἀπο-

Θέλω σοι νουθετήσῃ παραγγελίαν φρόνιμον καὶ σοφήν, ἡ ὁποία ἴσως καὶ εἶνε ἀσυνήθης καὶ παράξενος εἰς ἐκείνους, οἱ ὁποῖοι συμβουλεύουσιν, ὅμως εἶναι ἀξία τῆς βασιλικῆς καὶ πατρικῆς βεβαίας φιλίας· ὦ τέκνον, περισσότερον ἀποδέχου καὶ ἀγάπα

1) γρ. πολλὲς φορές.

δέχεσαι καὶ νὰ ἀγαπᾷς ἐκείνους ὁποῦ ζητοῦν ἀπὸ λόγου σου χαρίσματα, παρὰ ἐκείνους ὁποῦ σοῦ τὰ φέρνουσι, ὅτι ἐκείνων ὁποῦ δίδεις χαρίσματα, τοὺς κάμνεις νὰ εἶναι χρεῶσταί σου, καὶ δέονται πάντοτε τοῦ θεοῦ νὰ ἔχῃς ὅλα τὰ ἀγαθά, καὶ ἀπ᾿ αὐτὸ θέλεις κάμνει καὶ τὸν θεὸν αὐτὸν χρεώστην ὁποῦ νὰ σοῦ δώσῃ τοὺς μισθοὺς κατὰ χρέος, ἀμὴ εἰς ἐκείνους ὁποῦ σοῦ χαρίζουν θέλεις γένῃ χρεώστης καὶ θέλεις τοὺς ἐντρέπεσαι πάντοτε ὡσὰν εὐεργέτας σου, θέλε λοιπὸν νὰ μὴ εὐεργετῆσαι ἀπὸ κανένα, παρὰ μονον ἀπὸ τὸν θεόν, ὅτι τοῦτο εἶναι κατὰ ἀλήθειαν ἁρμόδιον καὶ πρέπον τοῦ ἀληθινοῦ καὶ ἐλευθέρου βασιλέως, καὶ ἐκείνους μὲν ὁποῦ ζητοῦσιν ἀπὸ λόγου σου καὶ νὰ τοὺς δίδῃς καὶ νὰ τοὺς ἀγαπᾷς, ἐκείνους δὲ ὁποῦ σε δίδουν, νὰ τοὺς δέχεσαι ὀλιγότερον [1], διότι ἐκείνων ὁποῦ δίδουν ὁ σκοπός των ὅλος εἶναι νὰ ξαναπέρνουν [2] τὴν χάριν, ἀμὴ ἐκείνων ὁποῦ ζητοῦν ὁ σκοπὸς ὅλος εἶναι νὰ ἀποδώσουν τὴν χάριν, καὶ ἂν εἶνε πλούσιοι ἀνταποδίδουν καὶ χάριν ἀνθρώπινον, εἰ δὲ καὶ εἶναι πτωχοί, ἀνταποδίδουν ἀπὸ τὸν θεὸν πολλαπλασίονα.

ἐκείνους, οἱ ὁποῖοι ζητοῦσιν ἀπὸ σὲ δῶρα, παρὰ ἐκείνους, οἱ ὁποῖοι προσφέρουσιν εἰς σὲ τοιαῦτα· διότι ἐκείνους, εἰς τοὺς ὁποίους δίδεις δῶρα, κάμνεις νὰ εἶνε χρεῶσταί σου καὶ δέονται πάντοτε τοῦ θεοῦ νὰ ἔχῃς ὅλα τὰ ἀγαθὰ καὶ ὡς ἐκ τούτου θέλεις κάμῃ καὶ αὐτὸν τὸν θεὸν χρεώστην, ὥστε κατὰ χρέος νά σε ἀνταμείψῃ, εἰς ἐκείνους ὅμως, οἱ ὁποῖοι σοὶ χαρίζουσι, θέλεις ὑποχρεωθῇ καὶ θέλεις ἐντρέπεσαι αὐτοὺς πάντοτε ὡς εὐεργέτας σου· θέλε λοιπὸν νὰ εὐεργετῇς ὅλους τοὺς ἀνθρώπους καὶ νὰ μὴ εὐεργετῆσαι ἀπὸ κανένα, παρὰ μόνον ἀπὸ τὸν θεόν, διότι τοῦτο ἀληθῶς εἶνε ἁρμόδιον καὶ πρέπον εἰς ἀληθῆ καὶ ἐλεύθερον βασιλέα· καὶ εἰς ἐκείνους μέν, οἱ ὁποῖοι ζητοῦσιν ἀπὸ σὲ καὶ δίδε καὶ ἀγάπα αὐτούς, ἐκείνους δὲ, οἱ ὁποῖοι σοὶ δίδουσι, νὰ τοὺς δέχησαι ὀλιγώτερον· διότι ἐκείνων μέν, οἱ ὁποῖοι δίδουσιν, ὅλος ὁ σκοπὸς εἶνε νὰ λάβωσι πάλιν τὴν χάριν, ἐκείνων ὅμως, οἱ ὁποῖοι ζητοῦσιν, ὅλος ὁ σκοπὸς εἶνε ν᾿ ἀνταποδώσωσι τὴν χάριν, καὶ ἂν μὲν εἶνε πλούσιοι, ἀνταποδίδουσι μάλιστα χάριν ἀνθρωπίνην, ἂν δὲ εἶνε πτωχοί, ἀνταποδίδουσιν ἀπὸ τὸν θεὸν πολλαπλασίονα.

Ἐκ τῆς τοιαύτης ἀντιπαραβολῆς καταδείκνυται, ὅτι πρὸ ἑνὸς

1) γρ. ὀλιγώτερον.

2) γρ. ξαναπαίρνουν.

καὶ ἐπέκεινα αἰῶνος ὁ καθαρεύων γραπτὸς λόγος πλείω περιεῖχε στοιχεῖα τῆς δημώδους ἢ νῦν, ἐκ τούτου δ' ἐξάγεται, ὅτι οὗτος σὺν τῷ χρόνῳ προϊόντι ἐπὶ μᾶλλον καὶ μᾶλλον ἐκκαθαίρεται, βελτιοῦται καὶ τελειοποιεῖται, ἐφ' ὅσον τὸ ἡμέτερον ἔθνος καὶ ἐν τῇ τέχνῃ καὶ ἐν τῇ ἐπιστήμῃ ἐξακολουθεῖ εἰς τὰ πρόσω χωροῦν.. Ὅτι δὲ προσέτι, ὥσπερ κατὰ τοὺς Βυζαντίνους χρόνους [1]), οὕτω καὶ πρὸ ἑνὸς καὶ ἐπέκεινα αἰῶνος ὑπῆρχον καί τινες λόγιοι, οἵτινες ἐν γλώσσῃ μᾶλλον δημώδει καὶ χυδαίᾳ γράφοντες οὐκ ἐπαύοντο καὶ στοιχεῖα συναναμιγνύντες λίαν ἀρχαῖα (τοῦθ' ὅπερ δηλοῖ ὅτι καὶ οὗτοι, καίπερ ἐπὶ τὸ δημωδέστερον γράφοντες οὐδαμῶς ἠδύναντο παντελῶς τὴν ἀρχαίαν παραιτεῖσθαι), δῆλον γίγνεται καὶ ἐκ τοῦ ἑξῆς ἐγγράφου τοῦ ἐν ἔτει αψνδ γεγραμμένου (ἴδε σελ. 131 σημ. 1):

Εἴδησις τοῦ εἰς τὸν βασιλικὸν θρόνον προβιβασμοῦ τοῦ σουλτὰν ὀσμάνι υἱοῦ σουλτὰν μουσταφᾶ πρὸς τὸν ἡγεμόνα βλαχίας.

Ἔξοχε τῶν αὐθεντῶν τοῦ γένους τοῦ μεσία βοεβόδα τῆς βλαχίας μιχαλζαδὲ κωνσταντῖνε βοεβόδα, τὰ τέλη σου εἴησαν μὲ καλὴν ἔκβασιν. Ἐρχομένου τοῦ παρόντος ὑψηλοῦ βασιλικοῦ ὁρισμοῦ, γνωστὸν ἔστω σοι, ὅτι ὁ μεγαλήτερος [2]) μου αὐτάδελφος πρώην βασιλεὺς σουλτὰν μαχμούτης, ὃν ἀναπαύσοι [3]) κύριος ἐν σκηναῖς τοῦ παραδείσου, ἐπειδὴ μὲ τὴν θέλησιν τοῦ ὑψίστου θεοῦ ἀπεδήμησεν εἰς τὸ σαράγι [4]) τοῦ τριανταφυλλῶνος [5]) ὁ τὰ καταθύμια τοῖς ἀνθρώποις βραβεύων ὕψιστος καὶ μεγαλώνιμος [6]), καὶ ἀνείκαστος θεὸς ὁ πρὸ αἰώνων προορίσας μὲ τὴν ἀτελεύτητον θείαν εὐδοκίαν αὐτοῦ καὶ βούλησιν ηὐδόκησεν εἰς ἐμὲ κατ' ἀξίαν τῆς ἐνούσης μοι βασιλικῆς λαμπρότητος· μὲ τὸ νὰ ἦτον ἡ τάξις τῆς διαδοχῆς τῆς βασιλείας μου εἰς τὸ νὰ διαδεχθῶ ἐν εὐδαιμονίᾳ καὶ χαρᾷ τὸ στέμμα

---

1) Σημειωτέον, ὅτι, ἐπεὶ σχεδὸν πάντες οἱ σπουδαῖοι Βυζαντῖνοι συγγραφεῖς ἐξ ὑψηλοτάτης κατήγοντο κοινωνικῆς τάξεως, ἢ ἦσαν ἀνώτατοι θρησκευτικοὶ ἢ πολιτικοὶ λειτουργοὶ (οἷον αὐτοκράτορες, Πατριάρχαι, ὑπουργοὶ καὶ ὑψηλῆς περιωπῆς δημόσιοι ὑπάλληλοι), ἢ καὶ τοιοῦτοι, ὧν κύριον ἔργον ἦν ἡ παράδοσις καὶ διατήρησις τῆς ἀρχαίας Ἑλληνικῆς (τοιοῦτοι δ' οἱ μοναχοὶ καὶ διδάσκαλοι), εἰκός, ὅτι ἡ γλῶσσα τῶν λογίων τότε ἡ κοινὴ οὖσα, ἡ καὶ ἐν ταῖς ἱεροτελεστίαις καὶ ἐν τῇ ἐκκλησίᾳ εὔχρηστος, ἄσχετος πρὸς τὴν δημώδη καὶ χυδαίαν διετέλει· οὐ μὴν ἀλλ' οὐδὲ τότε ἐξέλιπον οἱ ἀποπειραθέντες συνδιαλλάξαι πως ἀμφοτέρας καὶ ὡς ἐκ τούτου γλώσσῃ χρησάμενοι ἀναμίκτῳ· τοιοῦτοι γὰρ παρίστανται οἱ ἱστορικοὶ Μαλάλας καὶ Θεοφάνης· μάλιστα δ' ὁ πρῶτος.

2) γρ. μεγαλείτερος (πρβλ. „Τὰ κατὰ τὴν ἑορτὴν τῆς πεντηκονταετηρίδος τοῦ ἐθνικοῦ πανεπιστημίου" σελ. 205, § 32 καὶ σελ. 208).

3) ἀντί: ἀναπαύσαι.

4) λέξις Τουρκικὴ δηλοῦσα τὸ ἀνάκτορον.

5) τ. ἔ. τοῦ. ῥοδῶνος.

6) γρ. μεγαλώνυμος.

τοῦ ἀνωτάτου βασιλικοῦ θρόνου τῆς θείας ἐπιτροπῆς· ὅθεν κοινῇ γνώμῃ καὶ ἐκλογῇ, καὶ θελήσει τῶν ὑψηλῶν βεζιράδων καὶ ὅλων τῶν τιμίων σὐλαμάδων[1]), καὶ μετὰ τὴν ὑπόκλισιν ὅλων μικρῶν τε καὶ μεγάλων ἀνηγορεύθην σὺν ἄρσει[2]) θείᾳ κατ' ἀξίαν καὶ εὐλόγως, ἀποκατασταθεὶς ἐν ὥραις καλαῖς εἰς τὴν βασιλικὴν καθέδραν τῇ κη ἡμέρᾳ τοῦ παρόντος σεφὲρ νοεμβρίου μηνὰς τοῦ ἐνεστῶτος χιλιοστοῦ ἑκατοστοῦ ἔτει ἀπὸ θεογονίας 1754 ἑξηκοστοῦ ὀγδόου ἔτους ἡμέρᾳ παρασκευῇ (ἐβουλώθη[3]) καὶ μονέδα[4]) εἰς τὸ ὄνομά μου) διὰ τοῦτο ἐξεδόθη τὸ παρόν μου ἔνδοξον πρόσταγμα, καὶ σ' ἐστάλθη ἐπὶ τ' αὐτοῦ μὲ τὸν παρόντα τιμιώτατον βασιλικὸν σαλαχόρην[5]) μπαχρισαδὲ[6]) μουσταφᾶ-μπεγην, διὰ νὰ διαδοθῇ καὶ νὰ φανερωθῇ ἐκ ὅλην τὴν ἐπικράτειαν τῆς βασιλείας μου, καὶ μάλιστα εἰς τὸν τόπον αὐτον ἡ εἴδησις αὕτη τῆς μεγίστης δωρεᾶς καὶ μεγάλης τοῦ θεοῦ χάριτός τε καὶ εὐδοκίας· λοιπὸν φθάνωντας[7]) σὺν θεῷ τὸ παρὸν νὰ φανερώσῃς καὶ νὰ κοινολογήσῃς παρρησία[8]) εἰς ὅλους ὁποῦ κατοικοῦν εἰς τὸν τόπον αὐτὸν τὸ γεγονὸς κατὰ τὸν εἰρημένον τρόπον τζολοῦσι χουμαγιοῦν[9]) καὶ τὸν ἀναβιβασμὸν τοῦτον εἰς τὴν ὑψηλὴν καθέδραν τῆς κοσμοκρατορικῆς βασιλείας μου· καὶ νὰ ρίψῃς τόπια[10]) εἰς τὰ κάστρα, καὶ εἰς τοὺς κουλέδαις[11]), καὶ νὰ κάμῃς διάφορα σεχλίκια[12]), καὶ χαρκῖς[13]), οὗ ἕνεκεν ἐξεδόθη ὁ παρὼν ἔνδοξός μου βασιλικὸς ὁρισμός· ὅστις φθάτωνται[7]) νὰ ἐνεργήσῃς κατὰ τὸν εἰρημένον τρόπον μὲ ἄκραν ὑποταγὴν καὶ ὑπόκλισιν τὴν περικατήχησιν τοῦ εὐδοθέντος[14]) βασιλικοῦ μου ὁρισμοῦ, καὶ νὰ φυλαχθῇς καὶ νὰ προσέχῃς ἀπὸ τὰ ἐναντία· οὕτω νὰ ἰξεύρῃς, καὶ εἰς τὸ ἔνδοξόν μου σημεῖον νὰ πιστεύῃς.

Καὶ ταῦτα μὲν ἱκανὰ ἡγοῦμαι περὶ τῆς ἡμετέρας εἰρῆσθαί μοι

1) σὐλαμᾶς ἐστιν ὁ παρὰ τοῖς Ὀθωμανοῖς σοφός, λόγιος.

2) γραπτέον συνάρσει. 3) γραπτέον ἐβουλώθη.

4) μονέδα καλεῖται τὸ νόμισμα.

5) ἀντὶ: silachschorin ἐκ τοῦ Τουρκικοῦ silachschor, ὅπερ δηλοῖ τὸν ὁπλοφόρον, τὸν ὑπασπιστήν.

6) τ. ἔ. υἱὸν τοῦ Bachri. 7) γρ. φθάνοντας. 8) γρ. παρρησίᾳ.

9) τσουλοῦσι χουμαγιοῦν ἐν τῇ Τουρκικῇ καλεῖται ἡ αὐτοκρατορικὴ ἀνάρρησις, ἡ ἐπὶ τὸν θρόνον ἀνάβασις τοῦ Σουλτάνου.

10) τόπ Τουρκιστὶ καλεῖται τὸ νῦν παρ' ἡμῖν τηλεβόλον (κοινῶς κανόνι).

11) γρ. κουλέδες· κουλὲς καὶ κουλᾶς ἐκ τοῦ Τουρκ. κουλὰ, δηλοῖ τὸν πύργον.

12) γρ. μᾶλλον σενλίκια· σενλὶκ ἐν τῇ Τουρκικῇ δηλοῖ τὴν πανήγυριν, τὴν δημοτελῆ ἑορτήν.

13) γρ. χαρὲς. 14) γρ. ἐκδοθέντος.

γλώσσης καὶ προφορᾶς, ἐπεὶ δὲ παρακατιὸν γενήσεται λόγος ἐπιτροχάδην περὶ τῶν ἄλλως τε τοῖς πλείστοις γνωστῶν διαφόρων περὶ τοῦ παρ' ἡμῖν γλωσσικοῦ ζητήματος δοξασιῶν, περιττὸν ἀναγράψαι αὐτὰς ἐνταῦθα, καθ' ὅσον μάλιστα ἐν τῇ πραγματείᾳ ταύτῃ πρόκειται ἐξετάσαι οὐχὶ δήπου εἰ προαιρετέα τῆς δημώδους ἡ νῦν γραφομένη ἢ τἀνάπαλιν (ὁ γὰρ χρόνος καὶ ἡ τῶν πραγμάτων φορὰ κατέδειξαν, ὅτι ἀμφότεραι αὗται αἱ γλωσσικαὶ φάσεις ἐκ φυσικῆς τοῦ ἡμετέρου ἔθνους ἀνάγκης προελθοῦσαι καὶ ἀναπτυχθεῖσαι διετέλεσαν καὶ διατελέσουσιν ἀείποτε ἐκ παραλλήλου ὑφιστάμεναι καὶ κατὰ τὰς ἑκάστοτε περιστάσεις καὶ ἀνάγκας ρυθμιζόμεναι καὶ τροποποιούμεναι), ἀλλὰ περὶ τοῦ πῶς ἐξέσται ἡμῖν σταθερώτερα διαχαράξαι τῇ γραφομένῃ γλώσσῃ ὅρια καὶ τύπον καθορίσαι αὐτῇ ὡς οἷόν τε ἑνιαῖον καὶ σταθερόν, πρὸς δὲ ἐκποδὼν ποιήσασθαι καὶ τὸ τῆς προφορᾶς ζήτημα. Ἐπιλαμβάνομαι οὖν τοῦ κυρίου θέματος τῆς πραγματείας ταύτης πειρώμενος, ἵνα τὸ γ' ἐπ' ἐμοὶ ὑποδείξω τὸν προσήκοντα τρόπον τῆς λύσεως τοῦ οὕτω νοουμένου γλωσσικοῦ παρ' ἡμῖν ζητήματος:

Πρὸς λύσιν τούτου ἔμοιγε δοκεῖ, ὅτι τῶν ἑξῆς δεῖ πραγμάτων:

α') πρὸ παντὸς συλλεκτέα ἅπασα ἡ γλωσσικὴ ὕλη τῆς καθ' ἡμᾶς γλώσσης, τῆς τε λαλουμένης καὶ γραφομένης, ἵνα ἐκ ταύτης πλῆρες καταρτισθῇ καὶ τέλειον λεξικὸν τῆς νῦν Ἑλληνικῆς καθόλου·

β') συγγραπτέον λεξικὰ τῶν ἰδιαιτέρων διαλέκτων, φθογγολογίαν, γραμματικὴν καὶ συντακτικὸν μιᾶς ἑκάστης αὐτῶν·

γ') ἐπὶ τῇ βάσει τοῦ πλήρους τῆς νῦν Ἑλληνικῆς λεξικοῦ καὶ τῆς φθογγολογίας μιᾶς ἑκάστης τῶν διαλέκτων ἐκπονητέον γενικὴν τῆς καθ' ἡμᾶς γλώσσης καθόλου φθογγολογίαν·

δ') ἐπὶ τῇ βάσει τῶν γραμματικῶν καὶ συντακτικῶν τῶν διαφόρων διαλέκτων συντακτέον γενικὴν τῆς νέας Ἑλληνικῆς καθόλου γραμματικὴν καὶ συντακτικόν·

ε') ἐκ τοῦ πλήρους καὶ τελείου λεξικοῦ τοῦ τὸν θησαυρὸν τῶν λέξεων τῆς καθ' ἡμᾶς γλώσσης καθόλου ἅπαντα περιέξοντος ἐξοβελιστέον πάσας τὰς ἀδοκίμους λέξεις καὶ πᾶν τὸ ὀθνεῖον καὶ ξένον, ἵνα οὕτως ἕτερον καταρτισθῇ λεξικὸν ἐπίτομον μέν, ἀλλ' ἐν πᾶσι γνήσιον Ἑλληνικὸν περιλαμβάνον ἅπαντα τὸν θησαυρὸν τῶν λέξεων, ὧν χρῆσιν δεῖ ποιεῖσθαι τοὺς λογίους καὶ τὰς πολιτικὰς καὶ θρησκευτικὰς ἀρχὰς ἔν τε τῷ γράφειν καὶ ἐν τῷ πρὸς ἀλλήλους διαλέγεσθαι, ὡς καὶ ἐν πανηγυρικοῖς λόγοις καὶ ἐν τῇ καθ' ἑκάστην

ἀλληλογραφίᾳ. Ἐν τούτῳ δ', ὡς εἰκὸς ἔξεστι καὶ δεῖ μάλιστα προσλαβεῖν ἐκ τῆς ἀρχαίας καί τινας λέξεις ἀναγκαίας καὶ ἀπαραιτήτους·

ς') ἐκ τῆς γενικῆς τῆς νέας Ἑλληνικῆς καθόλου γραμματικῆς καὶ τοῦ συντακτικοῦ αὐτῆς χρὴ ἀρύσασθαι πᾶν τὸ ἀναγκαιότερον, κανονικώτερον καὶ ἀρχαιοπρεπέστερον πρὸς ἐκπόνησιν ἰδιαιτέρας γραμματικῆς καὶ συντακτικοῦ, ἅπερ καὶ μόνα ἐν τῷ εἴδει αὐτῶν δεῖ ἐν πᾶσι τοῖς Ἑλληνικοῖς διδάσκεσθαι σχολείοις καὶ πᾶσι τοῖς λογίοις χρησιμεύειν ὡς ὁ ἀπαραίτητος ὁδηγὸς ἔν τε τῷ γράφειν καὶ ἐν τῷ πρὸς ἀλλήλους διαλέγεσθαι, ὡς καὶ ἐν τῇ διδασκαλίᾳ·

ζ') τῆς οὕτω κατὰ ποσὸν μὲν τῷ ἰδιαιτέρῳ ἐπιτόμῳ καὶ ἐν πᾶσι γνησίῳ Ἑλληνικῷ λεξικῷ κατὰ ποιὸν δὲ καὶ τύπον τῇ ἰδιαιτέρᾳ γραμματικῇ καὶ τῷ ἰδιαιτέρῳ συντακτικῷ καθορισθησομένης καί, ὡς εἰκός, τῇ ἀρχαίᾳ Ἑλληνικῇ τὰ μάλιστα προσεγγιζούσης τῶν λογίων γλώσσης συνήθη χρῆσιν δεῖ γίγνεσθαι οὐ μόνον ἐν τῇ καθ' ἡμέραν τούτων πρὸς ἀλλήλους συναναστροφῇ, ἐν ἐπισήμοις πανηγυρικοῖς λόγοις καὶ δημηγορίαις, ἐν τῇ νομοθεσίᾳ καὶ τοῖς δικαστηρίοις, ἐν πάσῃ διδακτικῇ καὶ ἐπιστημονικῇ συγγραφῇ, ἀλλὰ καὶ ἐν τῇ καθ' ἑκάστην δημοσιογραφίᾳ καθόλου [1]).

η') ἐπεὶ δέ, ὡς νῦν τὰ πράγματα ἔχει, πολλῶν νέων ἀνακαλύψεων καὶ προόδων ἔν τε ταῖς ἐπιστήμαις καὶ τέχναις τέως γενομένων, ἀπόλυτος πολλάκις παρίσταται ἀνάγκη νέων λέξεων καὶ ὅρων, οὓς οὐκ ἄν τις εὕροι οὔτε ἐν τῇ ἀρχαίᾳ οὔτε ἐν τῇ νέᾳ ἡμῶν γλώσσῃ (πολλοὶ δὲ καὶ τῶν ἤδη ἐσχηματισμένων ἐν τῇ τελευταίᾳ ταύτῃ ἔχουσιν ἐσφαλμένως καὶ ἀκανονίστως), ἐπάναγκες ἡγοῦμαι, ὅπως εἰδικαὶ ἐπιτροπαὶ ἐκ φιλολόγων καὶ διαφόρων ἄλλων ἐπιστημόνων καὶ τεχνιτῶν προσεπιβοηθούντων, ὑπὸ τῆς ἐν Ἀθήναις Ἐπιστημονικῆς Ἑταιρείας, τοῦ ἐν Ἀμστελοδάμῳ Φιλελληνικοῦ Συλλόγου καὶ τοῦ ἐν Κωνσταντινουπόλει Ἑλληνικοῦ Φιλολογικοῦ Συλλόγου ᾑρημέναι, προβῶσι

